# PHOTII TESTIMONIVM

Photius, Bibliotheca 161. *Ἀνεγνώσθη ἐκλογαὶ διάφοροι ἐν βίβλοις ιβ΄ Σωπάτρου σοφιστοῦ· συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμμάτων . . .· ὁ δὲ ὄγδοος* (sc. *λόγος*) *ἐκ τόμου τινὸς ἀρχαίου ἐκλογαὶ καὶ αὐτὸ τυγχάνει τὸ βιβλίον, οὐκ ἔχον ἐπιγραφόμενον τὸν συνηθροικότα· ἐν οἷς τὰς εἰς μέγα δόξης καὶ ὄνομα λαμπρὸν ἀρθείσας γυναῖκας καταλέγει καὶ ἀνδρῶν ἐνίων ἔργα καὶ ἐπὶ παιδείᾳ λόγων συνουσίας, ἀρετήν τε αὖ φιλίας καὶ τῶν σπουδαίων ἀποφθέγματα. συγκεῖται δὲ αὐτῷ καὶ ἐκ τῶν Πλουτάρχου Περὶ τοῦ πῶς δεῖ τὸν νέον ἀκούειν ποιημάτων, Περί τε φύσεως καὶ πόνων, ὅπως τε πολλοὶ πολλάκις πόνῳ τὴν φύσιν οὐκ εὖ φερομένην ὤρθωσαν, ἕτεροι δὲ καλῶς ἔχουσαν ἐξ ἀμελείας διέφθειραν, ὅπως τε ἔνιοι ἐν μὲν νέοις βραδεῖς ἑνωρῶντο πᾶσι καὶ ἀσύνετοι, ἀκμασάντων δὲ εἰς τὸ ταχὺ καὶ συνετὸν αὐτοῖς ἡ φύσις ἐξέλαμψε· καὶ ἐκ τοῦ περὶ δυσωπίας δὲ λόγου καὶ περὶ ἀδολεσχίας καὶ Περὶ ὀργῆς, καὶ ἐκ τοῦ πῶς ἄν τις ὑπὸ ἐχθρῶν ὠφελοῖτο, καὶ περὶ εὐθυμίας δέ, καὶ τῶν πολιτικῶν αὐτοῦ παραγγελμάτων, Περί τε πλούτου καὶ ὅπως ἄν τις συναίσθοιτο ἑαυτοῦ πρὸς ἀρετὴν ἐπιδόντος, ἔκ τε τῶν ὑγιεινῶν αὐτοῦ καὶ γαμικῶν παραγγελμάτων . . . καὶ δὴ καὶ ὁ ἔνατος αὐτῷ ὁμοίως ἐκ τῶν Πλουτάρχου συνετμήθη, ἔκ τε τοῦ ὅτι βράδιον οἱ θεοὶ τιμωροῦνται καὶ δὴ καὶ ἐκ τοῦ βίου Δημητρίου καὶ Βρούτου τοῦ Ῥωμαίου καὶ ἐκ τοῦ λόγου ὃς ἐπιγέγραπται αὐτῷ ʻἀνδρῶν ἐνδόξων ἀποφθέγματαʼ, ἔκ τε τοῦ περὶ ποταμῶν, καὶ πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου, καὶ μὴν καὶ ἐκ τοῦ Κράτητος βιόυ Δαϊφάντου*